## LXXXIX. — Λύσεις τῶν λόγων τούτων.

Πρὸ δὲ τῆς λύσεως χρὴ τὴν τάξιν ἐκθέσθαι καὶ πρόοδον τῆς ἀνθρωπίνης γενέσεως καὶ καθόλου τοῦ ζῴου. Ἰστέον οὖν, ὅτι τινὲς ἐδόξασαν τὰ ἐν τῷ ἐμβρύῳ φαινόμενα πρὸ τῆς ἐσχάτης αὐτοῦ συμπληρώσεως οὐκ ἔκ τινος ψυχῆς ἢ δυνάμεως ψυχῆς εἶναι ἐνυπαρχούσης αὐτῷ, ἀλλ' ἐκ τῆς f. 62v ψυχῆς τῆς μητρός. | Εἰ δὴ τοῦτ' ἦν ἀληθές, οὐκ ἂν ἦν τὸ ἔμβρυον ζῷον, παντὸς ζῴου ἐκ ψυχῆς καὶ σώματος ὄντος, καὶ αἱ τῆς ζωῆς δὲ ἐνέργειαι οὐ προΐασιν ἐκ ποιητικῆς ἀρχῆς ἔξωθεν, ἀλλ' ἐκ τῆς ἔνδον δυνάμεως, ᾧ μάλιστα τῶν μὴ ζώντων τὰ ζῶντα δοκεῖ διακρίνεσθαι, ὧν ἴδιον τὸ κινεῖν ἑαυτά. Τὸ δὲ ἔμβρυον πρὸ τῆς συμπληρώσεως καὶ τρέφεται καὶ αἰσθάνεται. Ἄλλοι φασὶν ἐν τῷ σπέρματι ἐξ ἀρχῆς εἶναι ψυχὴν κατ' οὐσίαν τελείαν, ἧς οὐ φαίνονται αἱ ἐνέργειαι διὰ τὴν ἔνδειαν τῶν ὀργάνων. Ἀληθὲς δὲ οὐδὲ τοῦτο· ἐντελέχεια γὰρ σώματος ἡ ψυχὴ ὀργανικοῦ, πρὸ δὲ τῆς τοῦ σώματος ὀργανώσεως δυνάμει μόνον ἐστὶν ἐν αὐτῷ· ἔπειτα, εἰ τοῦτ' ἦν, συνεπληροῦτ' ἂν ἡ τοῦ ζῴου γένεσις ἐν αὐτῷ τῇ τοῦ σπέρματος ἀποτομῇ, καὶ αἱ μετὰ ταῦτα πᾶσαι μεταβολαὶ πρὸς τὴν γένεσιν ἦσαν ἂν ἀσυντελεῖς, πρὸς τὸ εὖ εἶναι μόνον συντελοῦσαι ὡς ὑφεστῶτι ἤδη τῷ οὐσιώδει εἴδει ἑπόμεναι.

Ἔτι, εἴπετ' ἂν ἐν πάσῃ ἀκαθαρσίᾳ ᾗ οὐχ ἕπεται σύλληψις οὐδὲν ἧττον τὰς ψυχὰς πολλαπλασιάζεσθαι.

Ἄλλοι εἶπον, ὅτι ἡ τοῦ σπέρματος δύναμις, ὅπερ ἐστὶ σῶμα δυνάμει ὀργανικόν, δυνάμει ἐστὶ ψυχὴ κατ' ἀναλογίαν αὐτοῦ· αὕτη δὴ ἡ δύναμις γίνεται πρῶτον ψυχὴ φυσική, ἥτις ἐλάττω ζητεῖ ὄργανα, τοῦ σπέρματος ἀρκούντως ὠργανωμένου πρὸς τὴν φυσικὴν ζωήν· εἶτα τῶν ὀργάνων τελειωθέντων, προάγεται εἰς τὸ αἰσθητικὴ εἶναι ψυχή, περαιτέρω δὲ τοῦ τῶν ὀργάνων εἴδους τελειωθέντος, ἡ αὐτὴ λογικὴ ψυχὴ γίνεται οὐ τῇ ἐνεργείᾳ τῆς δυνάμεως τοῦ σπέρματος, ἀλλὰ τῇ τοῦ ἔξωθεν ποιοῦντος ἐπιρροῇ. Ἀληθὲς δὲ οὐδὲ τοῦτο· ἦν γὰρ ἂν ἡ αὐτὴ τῷ ἀριθμῷ δύναμις νῦν μὲν φυσικὴ ψυχή, νῦν δὲ αἰσθητική, νῦν δὲ λογική, καὶ τὸ οὐσιῶδες εἶδος συνεχῶς ἂν μᾶλλον καὶ μᾶλλον ἐτελειοῦτο, καὶ προήγετο ἂν τὸ ἐφεξῆς ἐκ δυνάμεως εἰς ἐνέργειαν.

Ἔτι, ἡ γένεσις ἦν ἂν κίνησις συνεχής, ὥσπερ ἀλλοίωσις.

Ἔτι, εἴπετ' ἂν τὴν λογικὴν ψυχὴν εἶναι θνητήν, ἢ τὸ φθαρτὸν εἰς ἄφθαρτον μεταβάλλεσθαι· ἡ γὰρ αἰσθητικὴ φθαρτή ἐστι ψυχή, ἥτις αὐτὴ γίνεται λογικὴ κατ' αὐτοὺς ἐντὸς φωτός τινος εἰσαχθέντος, ὅπερ ὡς εἶδος ἔχει πρὸς ταύτην.

Δεῖ τοίνυν εἰδέναι, ὅτι ἡ ἐν τῷ σπέρματι εἰδοποιὸς δύναμις, καὶ f. 63 μάλιστα πρὸς τὰ πρῶτα καὶ ἀρχικὰ μέρη, | ἔστιν ἐκ τῆς γεννητικῆς δυνάμεως τῆς ἐν τῷ πατρὶ ψυχῆς, οὗτινος ἔργον ἐστὶν ποιεῖν ὅμοιον ἑαυτῷ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κατ' εἶδος· καὶ αὕτη ἡ εἰδοποιὸς δύναμις ἡ αὐτή ἐστιν ἐν αὐτῷ ἀπ' ἀρχῆς τῆς εἰδοποιήσεως μέχρι τέλους· τὸ δὲ εἶδος τοῦ εἰδοποιηθέντος οὐ τὸ αὐτὸ μένει· πρῶτον μὲν γὰρ ἔχει σπέρματος εἶδος, εἶτα αἵματος, καὶ οὕτω μέχρις ἂν ἔλθοι πρὸς τὴν ἐσχάτην συμπλήρωσιν. Εἰ γὰρ καὶ τῶν ἁπλῶν σωμάτων ἡ γένεσις οὐ πρόεισι κατὰ τάξιν διὰ τὸ ἕκαστον ἔχειν ἄμεσον εἶδος ἐν τῇ πρώτῃ ὕλῃ, ἀλλ' ἐν τῇ γενέσει τῶν ἄλλων σωμάτων ἀνάγκη γενέσεων εἶναι τάξιν διὰ τὰ πολλὰ εἴδη τὰ μεσιτεύοντα τῷ τε πρώτῳ εἴδει τοῦ στοιχείου καὶ τῷ ἐσχάτῳ εἴδει πρὸς ὃ ἡ γένεσις τάττεται, καὶ διὰ τοῦτο πολλαὶ γενέσεις εἰσὶ καὶ φθοραὶ ἀλλήλαις ἑπόμεναι, καὶ οὐκ ἔστιν ἄτοπον εἴ τι τῶν μεσιτευόντων γεννᾶται, καὶ παρευθὺς φθείρεται, διότι τὰ μεσιτεύοντα οὐκ ἔχουσι τέλειον εἶδος, ἀλλ' εἰσὶν ὥσπερ ἐν ὁδῷ πρὸς τὸ εἶδος, καὶ διὰ τοῦτο οὐχ ἵνα μένωσι γεννῶνται, ἀλλ' ἵνα διὰ τούτων πρὸς τὸ ἔσχατον ἀφίκηται τὸ γεννώμενον. Καὶ οὐδὲν θαυμαστὸν εἰ πᾶσα τῆς γενέσεως ἡ μεταβολὴ οὐκ ἔσται συνεχής, ἀλλ' ἔσονται πλείους ἐν τῷ μέσῳ γενέσεις· τοῦτο γὰρ κἂν τῇ ἀλλοιώσει καὶ τῇ αὔξῃ συμβαίνει· μόνη γὰρ ἡ τοπικὴ κίνησίς ἐστιν ἀληθῶς συνεχής, ὡς ἐν ὀγδόῳ τῶν φυσικῶν. Ὅσῳ τοίνυν τιμιώτερον εἶδός ἐστι καὶ μᾶλλον ἀφεστὼς τοῦ εἴδους τοῦ στοιχείου, τοσούτῳ δὲ πλειόνων μέσων ἐμβάθμως πρὸς τὸ ἔσχατον ἀφικνεῖται τέλος. Ἑπομένως δὲ τοῖς πλείοσι μέσοις καὶ πλείους γενέσεις εἰσίν, ἀκολούθως δὲ καὶ φθοραί, οἷον τὸ ἀνθρώπινον εἶδός ἐστιν καὶ τὸ τοῦ ζῴου· ὅτι δὲ καὶ φθοραί, ἀνάγκη, εἴπερ ἡ ἑνὸς γένεσις ἄλλου ἐστὶ φθορά. Οὕτω τοίνυν ἡ φυτικὴ ψυχή, ἥτις ἔνεστι πρῶτον, ὅταν τὸ ἔμβρυον ζωὴν φυτοῦ ζῇ, φθείρεται, καὶ διαδέχεται τελειοτέρα ψυχή, ἥτις ἐστὶν ὁμοῦ θρεπτικὴ καὶ αἰσθητική, καὶ τότε τὸ ἔμβρυον ζῇ τὴν τοῦ ζῴου ψυχήν· ταύτης δὲ φθαρείσης, ἡ λογικὴ ψυχὴ διαδέχεται, ἔξωθεν εἰσκριθεῖσα, εἰ καὶ αἱ προηγησάμεναι ἐκ τῆς δυνάμεως ἦσαν τοῦ σπέρματος.

Τότε, πρὸς τὰ εἰς τοὐναντίον ἐπιχειρήματα λέγομεν· πρὸς μὲν τὸ f. 63v πρῶτον, ὅτι ἐκ τοῦ τὸ ζῷον συνωνύμως κατηγορεῖσθαι τοῦ ἀνθρώπου καὶ τῶν ἀλόγων ζῴων, οὐκ ἀνάγκη τὴν αἰσθητικὴν ψυχὴν τὸν αὐτὸν τῆς αἰτίας τρόπον ἔχειν ἐν ἑκατέροις· κατὰ γὰρ τὸν τοῦ γένους ὁρισμὸν συνερχόμενα διαφέρουσιν εἴδει, καὶ καθάπερ ἐκεῖνα ὧν εἰσιν εἴδει διαφέρουσι· τὰ μὲν γὰρ ἄλογα, ὁ δὲ ἄνθρωπος λογικόν·] οὕτω καὶ αὐτὴ ἡ αἰσθητικὴ ψυχὴ τοῦ ἀνθρώπου εἴδει διαφέρει τῆς τοῦ ἀλόγου αἰσθητικῆς διὰ τὸ εἶναι καὶ νοερὰν ὁμοῦ. Ὅθεν ἡ ἐν τῷ ἀλόγῳ αἰσθητικὴ μόνον οὖσα οὔτε τὸ εἶναι οὔτε τὴν ἐνέργειαν ἔχει ὑπὲρ τὸ σῶμα, καὶ συγγενᾶται αὐτῷ καὶ συμφθείρεται· ἡ δὲ ἐν ἀνθρώπῳ αἰσθητική, ἔχουσα ὑπερ τὴν αἰσθητικὴν φύσιν δύναμιν νοεράν, ἐξ ἧς ἀνάγκη καὶ κατὰ τὸ εἶναι καὶ κατὰ τὴν ἐνέργειαν ὑπὲρ τὸ σῶμα ὑπάρχειν, ὥσπερ καὶ αὐτὴ ἡ τῆς ψυχῆς οὐσία,

---

22 *φυτικὴ* corrigé de *φυσικὴ*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὔτε διὰ τῆς τοῦ σώματος γενέσεως γεννᾶται, οὔτε διὰ τῆς φθορᾶς αὐτοῦ φθείρεται. Ἐκ μὲν οὖν τοῦ αἰσθητικοῦ μέρους, ὅθεν ὁ ὁρισμὸς τοῦ γένους λαμβάνεται, οὐκ ἔστι διάφορος γενέσεως τρόπος ἐν ταῖς διαφόροις εἴδει ψυχαῖς, ἀλλ᾽ ἐκ τοῦ νοεροῦ μέρους, ὅθεν ἡ διαφορὰ τοῦ εἴδους λαμβάνεται. Ὅθεν ἡ διαφορὰ τοῦ γένους οὐ δύναται συμπεραίνεσθαι, ἀλλ᾽ ἡ τοῦ εἴδους διαφορὰ μόνη.

Ὅτι δὲ τὸ συλληφθὲν πρότερον ἐστὶ ζῷον, εἶτα ἄνθρωπος, οὐ δείκνυσι τὴν λογικὴν ψυχὴν τῷ σπέρματι συνηρτῆσθαι· ἡ γὰρ αἰσθητικὴ ψυχή, δι᾽ ἣν ζῷον ἦν, οὐ μένει, ἀλλὰ διαδέχεται ταύτην ψυχὴ ὁμοῦ αἰσθητικὴ οὖσα καὶ νοερά, ἐξ ἧς ἐστι ζῷον ὁμοῦ καὶ ἄνθρωπος.

Τὸ δὲ τὸν Θεὸν συνεργεῖν τοῖς μοιχοῖς ἐν τῇ ἐνεργείᾳ τῆς φύσεως οὐδὲν πρὸς τὸν λόγον· οὐ γὰρ ἡ τῶν μοιχῶν φύσις ἐστὶ πονηρά, ἀλλ᾽ ἡ θέλησις· ἡ δὲ ἀπὸ τῆς τοῦ σπέρματος δυνάμεως ἐνέργεια τούτων φυσικὴ ἀλλ᾽ οὐχ ἑκουσία· ὅθεν οὐδὲν ἄτοπον εἰ ταύτῃ τῇ ἐνεργείᾳ ὁ Θεὸς συνεργεῖ τῷ τὴν ἐσχάτην ἐπιτιθέναι τελειότητα.

Ἀλλ᾽ οὐδ᾽ ἕπεται τὸν αὐτὸν ἄνθρωπον ἑαυτοῦ πρότερον εἶναι· ἡ γὰρ ὕλη τοῦ εἴδους ἐστὶ πρότερον τῷ χρόνῳ, ἐφόσον ἐν δυνάμει πρὸς τὸ εἶδος ἐστίν, ἐνεργείᾳ δὲ γενομένη διὰ τοῦ τελείου εἴδους, ὁμοῦ ἐστίν. Ἄνθρωπος δὲ οὐκ ἔστι τὸ σῶμα μόνον ἢ ἡ ψυχή, ἀλλὰ τὸ συναμφότερον· ὅθεν τὸ
f. 64 ἀνθρώπινον σῶμα, μήπω ψυχὴν ἔχον, χρόνῳ μὲν πρότερόν | ἐστι τῆς ψυχῆς, οὐκ ἔστι δὲ ἀνθρώπινόν πω εἰ μὴ δυνάμει μόνον· ὅταν δὲ ἐνεργείᾳ ἀνθρώπινον ᾖ, τελειωθὲν διὰ τῆς ἀνθρωπίνης ψυχῆς, οὔτε πρότερον οὔτε ὕστερόν ἐστι τῆς ψυχῆς, ἀλλ᾽ ὁμοῦ μετ᾽ αὐτῆς.

Ἀλλ᾽ οὐδ᾽ ἐνεργείᾳ ζῶν ἐστι τὸ σπέρμα, δυνάμει δὲ μόνον· ὅθεν τότε οὐδὲ ψυχὴν ἔχει εἰ μὴ δυνάμει· ἐν δὲ τῇ τῆς γενέσεως προόδῳ φυτικὴν ἔχει καὶ αἰσθητικὴν ἐκ τῆς τοῦ σπέρματος δυνάμεως, αἵτινες οὐ μένουσιν, ἀλλ᾽ ἀπόλλυνται, τῆς λογικῆς ἐπιούσης.

Ἀλλ᾽ οὐδ᾽ εἰ ἡ τοῦ σώματος εἰδοποίησις τῆς ἀνθρωπίνης ψυχῆς προηγοῖτο, ἕπεται τὴν ψυχὴν γίνεσθαι διὰ τὸ σῶμα· διχῶς γὰρ ἔστι τι δι᾽ ἕτερον, ἕνα μὲν τρόπον, ὡς διὰ τὴν ἐκείνου ἐνέργειαν ἢ συντήρησιν, ἢ ὅπερ ἂν ᾖ τοιοῦτον, ᾧπερ ἕπεται τὸ εἶναι ἐκείνου καὶ τὰ τοιαῦτα ὕστερα εἶναι ἐκείνου δι᾽ ὅ εἰσιν, ὡς τὰ ἱμάτια διὰ τὸν ἄνθρωπον, καὶ τὰ ὄργανα διὰ τὸν τεχνίτην· ἕτερον δὲ τρόπον ἔστι τι δι᾽ ἕτερον, ἤγουν διὰ τὸ εἶναι αὐτοῦ, καὶ κατὰ τοῦτον τὸν τρόπον τὸ δι᾽ ἕτερον ὂν πρότερόν ἐστι τῷ χρόνῳ καὶ τῇ φύσει ὕστερον· καὶ οὕτω τὸ σῶμα ἔστι διὰ τὴν ψυχήν, ὥσπερ καὶ πᾶσα ὕλη διὰ τὸ εἶδος. Τοιοῦτον δ᾽ ἂν ἦν, εἰ ἐκ ψυχῆς καὶ σώματος οὐκ ἦν ἓν κατὰ τὸ εἶναι, ὥσπερ φασὶν οἱ τὴν ψυχὴν εἶδος τοῦ σώματος μὴ εἶναι τιθέμενοι.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XC. — Ὅτι μόνῳ τῷ ἀνθρωπίνῳ σώματι ὡς εἶδος ἡ νοερὰ οὐσία ἑνοῦται.

Περὶ μὲν γὰρ τῶν οὐρανίων σωμάτων Ἀριστοτέλους ἡ δόξα ἐκτέθειται, ὅτι ἔμψυχα αὐτὰ τίθησι, καὶ Αὐγουστῖνος ὥσπερ ἐν ἀμφιβόλῳ τοῦτο κατέλιπεν. Ἀλλὰ περὶ τῶν στοιχειωδῶν σωμάτων ἡ ζήτησις ἔστω νῦν. Τοιούτῳ τοίνυν σώματι μόνῳ τῷ ἀνθρωπίνῳ ἡ νοερὰ οὐσία ὡς εἶδος ἑνοῦται. Μεμιγμένῳ μὲν οὐκ ἂν ἑνωθείη ἄλλο· οὐδὲν γάρ ἐστι τοῦ ἀνθρωπίνου σώματος βέλτιον ἡρμοσμένον, ὥστε ἁπαλότητι καὶ ἁφῆς ἀρετῇ ἁπάσῃ, αἳ τὴν ἰσότητα τῆς ἁρμονίας δεικνύουσιν, ταῖς τῆς νοερᾶς οὐσίας ἐνεργείαις εὐφυῶς ὑπουργεῖν. Ἀλλ' οὐδὲ ἁπλῷ· ἐν γὰρ τοῖς μέρεσι τῶν ἁπλῶν σωμάτων οὐδεμία ζωῆς ἐνέργεια φαίνεται· ἔπειτα ἀδύνατον τὸ τιμιώτατον τῶν εἰδῶν, τὴν νοερὰν δηλαδὴ ψυχήν, τοῖς ἀτιμοτέροις ἑνοῦσθαι σώμασιν· τοιαῦτα δὲ τὰ στοιχεῖα, καὶ μᾶλλον τῇ πρώτῃ ὕλῃ πλησιάζονται, καὶ ὡς ὕλη αὐτὰ τοῖς μικτοῖς ὄντα, καὶ ὡς μᾶλλον ὄντα δυνάμει, | ἔλαττον δὲ ἐνεργείᾳ τελείᾳ. f. 64v

Ἔτι, ἐν τοῖς θνητοῖς ζῶσιν φθείρεται ἡ ζωὴ ταῖς τῶν ποιοτήτων ὑπερβολαῖς· αἱ δὲ ὑπερβολαὶ τῶν ἐναντίων ποιοτήτων ἐν τοῖς τῶν στοιχείων σώμασι μάλιστα εἰσίν.

Ἔτι, οὐδεμία κίνησις ἐν τοῖς στοιχείοις φαίνεται, ἥτις ἂν εἴη ἀπὸ ψυχῆς, ὡς ἐν πᾶσι τοῖς ψυχὴν ἔχουσιν ἢ κατὰ δόξαν ἢ κατὰ ἀλήθειαν, ἀλλὰ φυσικαὶ μόνον κινήσεις.

Ἔτι, ἡ τοῦ στοιχειώδους σώματος κίνησις δύναται καὶ ἄλλας ἀρχὰς ἔχειν· περιττὸν τοίνυν διὰ τὰς κινήσεις αὐτῶν ταύτας φύσει τὰς νοερὰς οὐσίας αὐτοῖς ἑνοῦσθαι.

Ἐντεῦθεν ἐλέγχεται ἡ τινῶν Ἑλλήνων δόξα, τιθέντων ἔμψυχα τὰ στοιχεῖα, ὅθεν αὐτοῖς καὶ τὴν θείαν ἀπεδίδουν λατρείαν· ἔτι, καὶ τῶν λεγόντων τοὺς ἀγγέλους καὶ δαίμονας σώματα ἔχειν αὐτοῖς ἡνωμένα φύσει ἐκ τῆς τῶν ἄνω ἢ κάτω στοιχείων φύσεως.

## XCI. — Ὅτι εἰσί τινὲς οὐσίαι νοεραὶ χωρισταί.

Εἰ αἱ ψυχαὶ κατὰ συμβεβηκὸς χωρισταί εἰσι τῶν σωμάτων· φύσει γὰρ τῶν σωμάτων εἰσὶν εἴδη· τοῦ δὲ κατὰ συμβεβηκὸς εἶναι τί δεῖ πρότερον, ὅπερ ἐστὶ καθ' αὑτό, δεῖ τινας οὐσίας νοερὰς εἶναι καθ' αὑτὰς προτέρας τῶν ἀνθρωπίνων ψυχῶν, αἷς ἐστι κατὰ φύσιν τὸ χωρὶς σωμάτων ὑφίστασθαι.

Ἔτι, τὸ ἐκ τοῦ ὁρισμοῦ τοῦ εἴδους μόνον καὶ οὐκ ἐκ τοῦ λόγου τοῦ γένους ὁμοῦ οὐκ ἀνάγκη πᾶσι τοῖς εἴδεσι τοῦ αὐτοῦ γένους ὑπάρχειν, τῇ δὲ νοερᾷ οὐσίᾳ κατὰ τὸ γένος αὐτῆς πρόσεστι τὸ καθ' ἑαυτὴν εἶναι ὑφεστηκυῖαν, καθ' ἑαυτὴν ἐχούσῃ ἐνέργειαν, ὡς ἐδείχθη· τὸ δὲ καθ' αὑτὸ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑφεστώς, ᾗ τοιοῦτον, οὐ δύναται ἑτέρῳ ἑνοῦσθαι· ἐξ ὁρισμοῦ δὲ οὐσίας τινὸς νοερᾶς, ἥτις ἐστὶν ἡ ψυχή, ὑπάρχει τὸ σώματι ἡνῶσθαι. Εἶεν ἄρα οὐσίαι νοεραὶ μὴ ἡνωμέναι σώμασιν.

Ἔτι, ὥσπερ τὸ σῶμα τὸ τέλειον διὰ τὴν νοερὰν ψυχὴν ἐν τῷ γένει τῶν σωμάτων ἄκρον ἐστίν, οὕτω καὶ τὴν ἡνωμένην σώματι νοερὰν ψυχὴν ἐσχάτην εἶναι δεῖ ἐν τῷ τῶν νοερῶν γένει· ἡ γὰρ ὑψηλοτέρα φύσις τῷ ἑαυτῆς χθαμαλωτέρῳ ἅπτεται τῆς ταπεινοτέρας φύσεως κατὰ τὸ ἐκείνης ἄκρον.

Ἔτι, εἰ ἐκ δυοῖν τι συγκείμενον εὑρίσκοιτο, θάτερον δὲ ἧττον τέλειον ὂν εὑρίσκεται καθ' ἑαυτό, πολλῷ μᾶλλον τὸ τέλειον καὶ ἧττον τοῦ ἑτέρου δέον καθ' αὑτὸ εὑρεθήσεται· πολλῶν δὲ ὄντων ἐξ οὐσίας νοερᾶς καὶ σώ-
f. 65 ματος συγκειμένων, ἤγουν τῶν ἀνθρώπων, εὑρίσκεται τὸ σῶμα | καθ' ἑαυτό που, ὡς ἐν τοῖς ἀψύχοις σώμασιν. Δεῖ ἄρα πολλῷ μᾶλλον καὶ νοερὰς οὐσίας εὑρίσκεσθαι σώμασιν οὐχ ἡνωμένας.

Ἔτι, πρὸ παντὸς ἀτελοῦς ἀνάγκη τὶ εὑρίσκεσθαι τέλειον ἐν ἐκείνῳ τῷ γένει· ἡ δὲ ψυχή, νοερὰ οὐσία τυγχάνουσα, ἀτελεῖ τρόπῳ τὸ νοεῖν ἔχει διὰ τῶν φαντασμάτων· δεῖ ἄρα εἶναί τινας νοερὰς οὐσίας τελείως ἐχούσας τὸ νοεῖν ἐν τῷ τὰ καθ' αὑτὰ νοητὰ νοεῖν, οὐ τὰ διὰ νοῦ γινόμενα νοητά, καὶ διὰ τοῦτο οὐδὲ σώμασιν ἡνωμένας, ὧν ἥκιστα καὶ τῶν ἐν αὐτοῖς αἰσθήσεων δέονται πρὸς τὴν γνῶσιν.

Ἐντεῦθεν ἐλέγχεται ἡ Σαδουκαίων πλάνη, λεγόντων πνεῦμα μὴ εἶναι, καὶ ἡ τῶν ἀρχαίων φυσικῶν, λεγόντων πᾶσαν οὐσίαν σωματικὴν εἶναι, καὶ ἡ τοῦ Ὠριγένους εἰπόντος μηδεμίαν οὐσίαν παρὰ τὴν θείαν τριάδα ἄνευ σώματος ὑφεστάναι, καὶ τῶν ἄλλων, τῶν τιθέντων τοὺς ἀγαθοὺς καὶ πονηροὺς ἀγγέλους ἔχειν σώματα φύσει ἑαυτοῖς ἡνωμένα.

## XCII. — Περὶ τοῦ πλήθους τῶν χωριστῶν οὐσιῶν.

Μᾶλλον γάρ τι πέφυκε κατὰ τὸ νοητὸν αὐτοῦ εἶναι πολλαπλασιάζεσθαι ἢ κατὰ τὸ ὑλικόν· πολλὰ γὰρ νοοῦμεν τῷ νῷ, ἅτινα ἐν τῇ ὕλῃ εἶναι οὐ δύνανται, ἐξ οὗ συμβαίνει ἑκάστῃ εὐθείᾳ γραμμῇ πεπερασμένῃ δύνασθαι γενέσθαι πρόσθεσιν μαθηματικῶς, οὐ φυσικῶς μέντοι· καὶ ἡ πυκνότης δὲ τῶν σωμάτων, καὶ τῶν κινήσεων ἡ ταχύτης, καὶ ἡ διαφορὰ τῶν σχημάτων ἐπ' ἄπειρον αὔξασθαι καταλαμβάνεται κατὰ νοῦν, εἰ καὶ ἐν τῇ φύσει ἀδύνατον οὕτως εἶναι. Αἱ δὲ χωρισταὶ οὐσίαι ἐν νοητῷ εἶναι εἰσὶ κατὰ τὴν αὑτῶν φύσιν· μείζων τοίνυν πληθυσμὸς ἐν αὐτοῖς εἶναι δύναται ἢ ἐν τοῖς φυσικοῖς πράγμασι κατὰ τὴν ἰδιότητα καὶ τὸν λόγον ἑκατέρου τοῦ γένους· ἐν δὲ τοῖς ἀεὶ οὖσιν οὐδὲν διαφέρει εἶναι καὶ δύνασθαι. Ὑπερβάλλει τοίνυν τὸ πλῆθος τῶν χωριστῶν οὐσιῶν τὸ πλῆθος τῶν ὑλικῶν σωμάτων.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Λέγεται δὲ καὶ ἐν τῷ Δανιήλ· „Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ“· καὶ ὁ Διονύσιος φησίν, ὅτι ὁ τῶν οὐσιῶν ἐκείνων ἀριθμὸς ὑπερβαίνει πᾶν ὑλικὸν πλῆθος. Ἐντεῦθεν ἀποσκορακίζεται ἡ θέσις τῶν λεγόντων τὰς χωριστὰς οὐσίας | κατὰ τὸν f. 65v ἀριθμὸν τῶν οὐρανίων κινήσεων, ἢ κατὰ τὸν ἀριθμὸν τῶν οὐρανίων οὐσιῶν εἶναι, ἧς δόξης ἡγεμών ἐστιν Ἀριστοτέλης· δείκνυσι γὰρ μὴ εἶναι κίνησίν τινα ἐν τῷ οὐρανῷ ὑφ' ἡμῶν μὴ δυναμένην καταλαμβάνεσθαι· πᾶσαν γὰρ κίνησιν ἐν οὐρανῷ διὰ κίνησιν εἶναι ἀστέρος τινός, ὅντινα εἶναι αἰσθητόν· αἱ γὰρ σφαῖραι τὰ ἄστρα μεταφέρουσιν· ἡ δὲ κίνησις τοῦ μεταφέροντος διὰ τὴν κίνησίν ἐστι τοῦ μεταγομένου.

Ἔτι, δείκνυσι μὴ εἶναί τινας χωριστὰς οὐσίας, ἀφ' ὧν τινες κινήσεις ἐν τῷ οὐρανῷ προΐασιν· ἐπεὶ γὰρ αἱ οὐράνιαι κινήσεις ὥσπερ εἰς τέλος τάττονται εἰς τὰς χωριστὰς οὐσίας, εἰ ἦσαν ἕτεραι οὐσίαι τινὲς χωρισταὶ παρ' ἃς ἐκεῖνος ἀριθμεῖ, ἦσαν ἄν τινες κινήσεις εἰς ταύτας τεταγμέναι ὥσπερ εἰς τέλη· ἄλλως γὰρ ἂν ἦσαν κινήσεις ἀτελεῖς. Ἐκ τούτων συμπεραίνει μὴ εἶναι πλείους χωριστὰς οὐσίας τῶν καταλειφθεισῶν ἐν τῷ οὐρανῷ κινήσεων. Αὕτη ἡ θέσις καὶ ἡ ἀπόδειξις οὐδὲν ἀνάγκης ἔχουσα διὰ πολλῶν δείκνυται λόγων, οὓς διὰ συντομίαν παρίεμεν, ἀρκούμενοι τοῖς ὑπὲρ τοῦ συμπεράσματος τῆς ἀληθείας συλλελογισμένοις, ᾧ καὶ ἡ θεία Γραφὴ μαρτυρεῖ.

## XCIII. — Ὅτι οὐκ εἰσὶ χωρισταὶ οὐσίαι πλείους ἑνὸς εἴδους.

Δέδεικται γὰρ ἀνωτέρω, ὡς αἱ χωρισταὶ οὐσίαι εἴδη τινά εἰσιν ὑφεστῶτα· εἶδος δὲ τοῦ πράγματος ἐστίν, ὅπερ ὁ ὁρισμὸς σημαίνει, ὅς ἐστι σημεῖον ὑπάρξεως· ὅθεν αἱ ὑφεστηκυῖαι ὑπάρξεις εἴδη εἰσὶν ὑφεστῶτα. Πλείους ἄρα χωριστὰς οὐσίας ἀδύνατον εἶναι, εἰ μὴ καὶ πλείω εἴδη εἰσίν.

Ἔτι, τὰ εἴδει μὲν ὄντα τὰ αὐτά, διάφορα δὲ ἀριθμῷ, ἔχουσιν ὕλην· αἱ δὲ χωρισταὶ οὐσίαι οὐκ ἔχουσιν ὕλην, οὔτε ᾗ ἐστι μέρος αὐτῶν, οὔτε ᾗ ἑνοῦνται ὡς εἴδη· οὐκ ἄρα ἀριθμῷ διαφέρουσι μόνον, ἀλλὰ καὶ εἴδει.

Ἔτι, ἐν τοῖς φθαρτοῖς πλείω εἰσὶν ἑνὸς εἴδους ἄτομα, ἵνα ἡ τοῦ εἴδους τηροῖτο φύσις ἀεί, ὅπερ ἐν ἑνὶ ἀτόμῳ ἀδύνατον· τῆς δὲ χωριστῆς οὐσίας ἡ φύσις ἐν ἑνὶ ἀτόμῳ δύναται συντηρεῖσθαι· ἄφθαρτοι γάρ εἰσιν.

Ἔτι, ἐν ἑκάστῳ, ὅπερ ἐστὶ τοῦ εἴδους, τιμιώτερόν ἐστιν ἐκείνου ὅπερ ἀρχή ἐστιν ἀτομότητος, παρὰ τὸν ὁρισμὸν ὂν τοῦ εἴδους· οὐκοῦν ὁ τῶν εἰδῶν πολλαπλασιασμὸς πλέον προστίθησι τῷ παντὶ τιμιότητος ἢ ὁ πολλαπλασιασμὸς τῶν ὑφ' ἓν εἶδος ἀτόμων· ἡ δὲ τοῦ παντὸς τελειότης | μάλιστα f. 66 ἐν ταῖς χωρισταῖς οὐσίαις συνίσταται.

---

1 Dan. 7, 10    2 Cael. Hier. c. 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, αἱ χωρισταὶ οὐσίαι τελειότεραί εἰσι τῶν οὐρανίων σωμάτων· ἀλλ' ἐκεῖνα ἕκαστον ἓν ἄτομον ἑνὸς εἴδους ἐστίν, ὅτι τε ἕκαστον συνέστηκεν ἐκ τῆς ὅλης ὕλης τοῦ εἴδους αὐτοῦ, ὅτι τε ἕκαστον τέλειόν ἐστι τῇ δυνάμει τοῦ εἴδους πρὸς τὸ πληροῦν ἐν παντὶ τὴν τοῦ εἴδους χρείαν, ὡς ἐπὶ τοῦ ἡλίου καὶ τῆς σελήνης φανερόν. Πολλῷ μᾶλλον τοίνυν ἐν ταῖς χωρισταῖς οὐσίαις ἓν μόνον ἄτομον ὑφ' ἓν εἶδος εὑρεθήσεται.

## XCIV. — Ὅτι ἡ ἀνθρωπίνη ψυχὴ καὶ ἡ χωριστὴ οὐσία οὐκ ἔστι τοῦ αὐτοῦ εἴδους.

Μείζων γάρ ἐστι διαφορὰ τῆς ἀνθρωπίνης ψυχῆς πρὸς τὰς χωριστὰς οὐσίας ἢ μιᾶς χωριστῆς οὐσίας πρὸς ἄλλην· ἀλλ' ἐκεῖναι εἴδει διαφέρουσιν ἀλλήλων· πολλῷ μᾶλλον ἄρα ἡ χωριστὴ οὐσία, τῆς ψυχῆς.

Ἔτι, ὧν τοῦ εἶναι διάφορος ὁ ὁρισμός, τούτων εἶδος οὐ τὸ αὐτό· τὸ δὲ εἶναι τῆς ἀνθρωπίνης ψυχῆς καὶ τῆς χωριστῆς οὐσίας οὐκ ἔστι τοῦ αὐτοῦ ὁρισμοῦ· ἐν γὰρ τῷ εἶναι τῆς χωριστῆς οὐσίας οὐ δύναται κοινωνεῖν τὸ σῶμα ὥσπερ ἐν τῷ εἶναι τῆς ἀνθρωπίνης ψυχῆς, ἣ κατὰ τὸ εἶναι ἑνοῦται τῷ σώματι ὡς εἶδος ὕλῃ· διὸ καὶ ἐν τῷ ὁρισμῷ αὐτῆς κεῖται τὸ σῶμα.

Ἔτι, ἡ μὲν χωριστὴ οὐσία καθ' ἑαυτὴν εἶδος ἔχει· ἡ δὲ ψυχὴ μέρος ἐστὶ τοῦ ἀνθρωπίνου εἴδους.

Ἔτι, τὰ διαφόρους ἔχοντα ἐνεργείας καὶ εἴδει διαφέρουσιν· ἡ γὰρ ἐνέργεια τὴν δύναμιν δείκνυσιν, ἡ δὲ δύναμις τὴν οὐσίαν καὶ τὸ εἶδος. Ἀλλὰ τοῦ νοεῖν, ὅ ἐστιν ἐνέργεια πάσης νοερᾶς οὐσίας, διάφορος ὁ τρόπος ἐν ἑκατέραις· ἡ μὲν γὰρ ψυχὴ τῷ ἐκ τῶν φαντασμάτων δέχεσθαι νοεῖ· ἡ δὲ χωριστὴ οὐσία οὐδὲ ὄργανα ἔχει, ἐν οἷς τὰ φαντάσματα. Οὐκ ἄρα ἡ ἀνθρωπίνη ψυχὴ καὶ ἡ χωριστὴ τῶν αὐτῶν εἴδει εἰσίν.

## XCV. — Πῶς ἂν τὸ γένος καὶ τὸ εἶδος ἐν ταῖς χωρισταῖς οὐσίαις λαμβάνοιτο.

Ὥσπερ ἐν τοῖς ἐξ ὕλης συγκειμένοις καὶ εἴδους τὸ μὲν γένος ἐκ τοῦ ὑλικοῦ λαμβάνεται, ἡ δὲ εἰδοποιὸς διαφορὰ ἐκ τοῦ εἰδικοῦ, καὶ διὰ τοῦτο ἐκ τῆς διαφορᾶς καὶ τοῦ γένους γίνεται ἕν, ὥσπερ ἐξ ὕλης καὶ εἴδους, οὕτως ἐν ταῖς ἁπλαῖς οὐσίαις ἐκ τοῦ τῆς φύσεως ὁρισμοῦ ὁ λόγος τοῦ γένους ληφθήσεται· καθόσον δὲ οὗτος ὁ λόγος ἐστὶν ἐν τοιούτῳ τοῦ ὄντος βαθμῷ, ἡ εἰδοποιὸς αὐτοῦ ληφθήσεται διαφορά. Εἰ δέ τις εἴη φύσις οὐχ f. 66v ὁρι|ζομένη πως, ἀλλ' ἄπειρος, ὡς ἡ θεία ἐδείχθη, οὔτε γένος οὔτε εἶδος ἔστιν αὐτῆς λαβεῖν, ὡς εἴρηται πρότερον.

---

17 *ἑνοῦται* **deux fois répété A**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XCVI. — Ὅτι αἱ χωρισταὶ οὐσίαι οὐ λαμβάνουσι τὴν γνῶσιν ἐκ τῶν αἰσθητῶν.

Οὐ γὰρ ἔχουσι σώματα φύσει ἡνωμένα, οὔτε ἀκολούθως γνῶσιν αἰσθητικήν.

Ἔτι, τὸ ἀντικείμενον αὐτῶν τῆς νοήσεως, ὡς ὑψηλοτέραις φύσεσι προσήκει, τὸ ἐνεργείᾳ νοητόν ἐστιν, οὐ τὸ φάντασμα τὸ ἐκ τῶν αἰσθητῶν, ὡς ἐπὶ τῶν ἀνθρωπίνων ψυχῶν· ὅθεν οὐδὲ ὁ δυνάμει καὶ ἐνεργείᾳ νοῦς ἐστιν ἐν ταῖς χωρισταῖς οὐσίαις εἰ μὴ ὁμωνύμως, καὶ οὔτε χρόνος μίγνυται οὔτε τόπου δεῖ τῇ νοερᾷ τῶν χωριστῶν οὐσιῶν ἐνεργείᾳ.

## XCVII.

Ὅτι γὰρ τῶν χωριστῶν οὐσιῶν ὁ νοῦς ἀεὶ ἐνεργείᾳ νοεῖ, δῆλον ἐντεῦθεν· αἱ γὰρ χωρισταὶ οὐσίαι οὐδεμίαν ἄλλην ἐνέργειαν ἔχουσι ζωῆς πλὴν τοῦ νοεῖν, ὥστε κατ' αὐτὴν ἀεὶ ἐνεργοῦσαι ζῶσιν.

Ἔτι, ὃ ποτὲ μὲν ἐνεργεῖ, ποτὲ δὲ οὐκ ἐνεργεῖ, ἢ καθ' αὑτὸ κινεῖται, ἢ κατὰ συμβεβηκός· ἀλλ' αἱ χωρισταὶ οὐσίαι καθ' αὑτὰς οὐ κινοῦνται· οὐ γάρ εἰσι σώματα· οὐδὲ κατὰ συμβεβηκός· οὐ γὰρ ἥνωνται σώμασιν· ἡ ἰδία ἄρα αὐτῶν ἐνέργεια, ἥτις ἐστὶ τὸ νοεῖν, συνεχὴς ἔνεστιν αὐταῖς καὶ οὐ διαλείπουσα.

Ἔτι, τὸ ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ μετρεῖται χρόνῳ· ὁ δὲ νοῦς τῆς χωριστῆς οὐσίας ὑπερ χρόνον ἐστίν, ὥσπερ καὶ ὑπὲρ τόπον διὰ τὸ καὶ τὰ ἐνεργείᾳ νοητὰ ἄνευ τόπου τε εἶναι καὶ χρόνου τοῦ τῇ τοπικῇ κινήσει ἑπομένου.

## XCVIII. — Πῶς μία χωριστὴ οὐσία τὴν ἑτέραν νοεῖ.

Εἰ δὲ αἱ χωρισταὶ οὐσίαι νοοῦσιν, ὡς δέδεικται, τὰ καθ' αὑτὰ νοητά, καθ' αὑτὰ δὲ νοητὰ αἱ χωρισταὶ οὐσίαι εἰσίν· ὁ γὰρ τῆς ὕλης χωρισμὸς ποιεῖ καθ' αὑτό τι εἶναι νοητόν· ἕπεται τὸ τὰς νοητὰς οὐσίας ὥσπερ ἴδια ἀντικείμενα τὰς χωριστὰς οὐσίας νοεῖν· ἑκάστη ἄρα καὶ ἑαυτὴν εἴσεται καὶ τὰς ἄλλας. Ἑαυτὴν μὲν οὖν ἑκάστη ἑτέρως γινώσκει ἢ ὁ δυνάμει νοῦς ἑαυτόν· ὁ μὲν γὰρ γινώσκει ἑαυτὸν διὰ τοῦ νοητοῦ εἴδους, ᾧ γίνεται ἐνεργείᾳ κατὰ τὸ νοητὸν εἶναι, ὥσπερ ἡ πρώτη ὕλη ἐν τῷ ἐνεργείᾳ εἶναι τῷ αἰσθητῷ εἴδει γίνεται· αἱ δὲ χωρισταὶ οὐσίαι, ἐνεργείᾳ ὑφεστῶσαι, ἐν τῷ νοητῷ εἶναι κατὰ τὴν αὐτῶν φύσιν εἰσίν· ὅθεν ἑκάστη ἑαυτὴν διὰ τῆς ἑαυτῆς οὐσίας εἴσεται καὶ οὐ διά τινος εἴδους ἑτέρου πράγματος·
| μία δὲ αὐτῶν τὴν ἑτέραν γινώσκει οὐ κατὰ τὸν ἴδιον λόγον τοῦ εἴδους, f. 67
ἀλλὰ μόνον κατὰ τὸν κοινὸν τοῦ γένους ὁρισμόν· ἡ μὲν γὰρ γνῶσις, ὁμοιότης ἐν τῷ γινώσκοντι τοῦ γνωστοῦ· αἳ δὲ τῇ φύσει τοῦ γένους, οὐ τοῦ εἴδους, ὡς εἴρηται, τὴν ὁμοιότητα ἔχουσιν. Εἰ δέ τινες λέγουσιν ἑκάστην τῶν χωριστῶν οὐσιῶν αἰτίαν εἶναι ἑτέρας ποιητικήν, καὶ οὕτω



Ε.Υ.Δ της Κ.Φ.Π ΙΩΑΝΝΙΝΑ 2006

διὰ τῆς ὁμοιότητος τοῦ ἀποτελέσματος πρὸς τὴν αἰτίαν ὑπ' ἀλλήλων γινώσκεσθαι, τὰς μὲν παρακτικὰς ὑψηλότερον, τὰς δὲ αἰτιατὰς ταπεινότερον τρόπον, ἀλλ' οὐ δοκεῖ δύνατον εἶναι· αἱ μὲν γὰρ οὐ δύνανται παράγεσθαι εἰς τὸ εἶναι εἰ μὴ διὰ δημιουργίας, ὡς δέδεικται· τὸ δὲ δημιουργεῖν, μόνου τοῦ Θεοῦ· οὕτω γὰρ ἑκάστη τῶν οὐσιῶν ἐκείνων τὸν Θεὸν γινώσκει φυσικῇ γνώσει κατὰ τὸν τρόπον τῆς ἑαυτῆς οὐσίας, δι' ἧς ὁμοία ἐστὶ τῷ Θεῷ ὡς αἰτίῳ, καὶ ὁ Θεὸς γινώσκει αὐτὰς ὡς ἰδία τούτων αἰτία, πασῶν ἐν ἑαυτῷ τὴν ὁμοιότητα ἔχων. Ἀλλ' οὐχὶ ὡς ἑκάστη οὖσα τὴν ἑτέραν γινώσκειν δυνήσεται, ἀλλὰ διὰ τῶν νοητῶν εἰδῶν, ὧν ἑκάστη πεπληρωμένη ἐστίν· ἑκάστη γὰρ διὰ τῆς ἑαυτῆς μὲν φύσεως τελείᾳ γνώσει τὸ ἑαυτῆς εἶδος μόνον γινώσκει, διὰ δὲ τῶν νοητῶν δμοιοτήτων τὴν τοῦ ὄντος φύσιν γινώσκει· ὅσῳ ὑψηλοτέρα ἐστί, τοσούτῳ ἧττον πεπληθυσμέναις καὶ μᾶλλον καθόλου ὁμοιότησι ἐπιγινώσκουσα, ὡς ἂν ἐγγύτερον τῶν ἄλλων οὖσα τῷ θείῳ, ὃς καθ' ἓν τὴν ἰδίαν οὐσίαν ἅπαντα γινώσκει, οὗ τοὐναντίον ἐστὶν ἐν ταῖς χθαμαλωτέραις καθ' ὁμοιότητα τοῦ χείρονος νοῦ τοῦ ἀνθρωπίνου, ὃς ἐν τοῖς διαφόροις γνωστοῖς διαφόρους ὁμοιότητας ἐπιζητεῖ, καὶ ἧττον καθόλου, καὶ τοσούτῳ μᾶλλον ὅσον ἂν εἴη ἐν τοῖς ἀνθρωπίνοις νοῖς ἀτελέστερος. Οὕτω τοίνυν ἡ χωριστὴ οὐσία οὐ κατὰ τὴν ἑαυτῆς οὐσίαν νοεῖται ὑπ' ἄλλης, ἀλλὰ δι' ὁμοιότητος αὐτῆς ἐν αὐτῇ. Εἰ δὲ τὸ νοεῖν γίνεταί πως καὶ δι' ἀφῆς τοῦ νοῦ πρὸς τὸ νοητόν, κατὰ Πλάτωνα, δυνατὸν οὕτως ταύτην τὴν οὐσίαν γινώσκειν ἐκείνην κατὰ τὴν ἐκείνης οὐσίαν ἁπτομένην αὐτῆς νοητῶς, ὅταν ἡ μὲν ὑψηλοτέρα τὴν ταπεινοτέραν νοῇ, ὥσπερ αὐτὴν τῇ ἑαυτῆς δυνάμει συμπεραίνουσά τε καὶ περιέχουσα,
f. 67 v ἡ δὲ ταπεινοτέρα τὴν | ὑψηλοτέραν, ὥσπερ αὐτὴν δεχομένη ὡς ἑαυτῆς τελειότητα· ὅθεν καὶ Διονύσιος φησίν, ὅτι αἱ ὑψηλότεραι νοεραὶ οὐσίαι ὥσπερ τροφὴ τῶν ταπεινοτέρων εἰσίν.

## XCIX. — Ὅτι αἱ χωρισταὶ οὐσίαι, γινώσκουσι τὰ φυσικὰ ἢ τὰ ὑλικά.

Διὰ γὰρ τῶν εἰρημένων νοητῶν εἰδῶν οὐ μόνον τὰς ἄλλας χωριστὰς οὐσίας γινώσκει ἑκάστη τῶν χωριστῶν οὐσιῶν, ἀλλὰ καὶ τῶν σωματικῶν πραγμάτων τὰ εἴδη. Ἐπεὶ γὰρ τέλειός ἐστιν αὐτῶν ὁ νοῦς φυσικῇ τελειότητι ὡς ὅλος ἐνεργείᾳ ὑπάρχων, ἀνάγκη τὸ ἀντικείμενον αὐτῷ ἤτοι τὸ νοητὸν εἶναι καθόλου περιέχειν· ὑπὸ δὲ τὸ νοητὸν ὂν καὶ τὰ τῶν σωματικῶν εἴδη περιέχονται, καὶ ἡ τάξις αὐτῶν ὥστε πάντα ταῦτα ἡ χωριστὴ οὐσία γινώσκει. Ἐπεὶ δὲ δοκεῖ τισιν ἄτοπον εἶναι διὰ τό, τὸ ἐνεργείᾳ νοητὸν εἶναι τελείωσιν τοῦ ἐνεργείᾳ νοῦ, τὸ δὲ ὑλικὸν μὴ δεῖν εἶναι τελειωτικὸν τῆς χωριστῆς οὐσίας διὰ τοῦ εἴδους αὐτοῦ, εἰδέναι δεῖ, ὅτι

8 *ὡς:* peut-être *καὶ* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸ νοητόν, κατὰ τὴν ἐν τῷ νῷ ὁμοιότητα, τελείωσίς ἐστι τοῦ νοῦ· οὐ γὰρ ὁ ἔξω τῆς ψυχῆς λίθος τελειοῖ τὸν δυνάμει νοῦν ἐν ἡμῖν. Ἡ τοίνυν τοῦ ὑλικοῦ πράγματος ὁμοιότης, ἐν τῷ νῷ τῆς χωριστῆς οὖσα οὐσίας ἀΰλως κατὰ τὸν τρόπον αὐτῆς τῆς ἐν ᾗ ἐστιν, ἀλλ' οὐ κατὰ τὸν ἑαυτῆς, δηλονότι τῆς ὑλικῆς, οὐδὲν ἄτοπον εἰ τελείωσις λέγοιτο τοῦ νοῦ τῆς χωριστῆς οὐσίας ὡς ἴδιον εἶδος αὐτῆς.

## C. — Ὅτι αἱ χωρισταὶ οὐσίαι γινώσκουσι τὰ μερικά.

Ἡ γὰρ ἐν τῷ νῷ τῆς χωριστῆς οὐσίας ὁμοιότης, καθολικῆς οὖσα δυνάμεως καὶ ἄϋλος, δύναται ἄγειν εἰς τὴν γνῶσιν τῶν ἀρχῶν τοῦ εἴδους καὶ τοῦ ἀτόμου οὕτως ὥστε δι' αὐτῆς τὴν χωριστὴν οὐσίαν οὐ μόνον τὴν τοῦ εἴδους ἢ γένους φύσιν, ἀλλὰ καὶ τοῦ ἀτόμου δύνασθαι γινώσκειν τῷ ἑαυτῆς νῷ, καὶ οὐχ ἕπεται τό, τὸ εἶδος δι' οὗ γινώσκει ὑλικὸν εἶναι, ἢ ἄπειρα εἶναι κατὰ τὸν ἀριθμὸν τῶν ἀτόμων· τὸ δὲ ἐν τῷ ἀνθρωπίνῳ νῷ εἶδος καὶ ἡ ὁμοιότης ὥρισται τῇ δυνάμει, ὥστε δι' ἑνὸς ἓν γινώσκεσθαι· ἡ γὰρ τοῦ γένους ὁμοιότης εἰς τὴν τοῦ γένους καὶ τῆς διαφορᾶς γνῶσιν ἄγειν οὐ δύναται, ὥστε δι' αὐτῆς τὸ εἶδος οὐ γινώσκεσθαι οὕτως, οὐδὲ ἡ τῆς φύσεως τοῦ εἴδους ὁμοιότης εἰς τὴν γνῶσιν ἄγειν δύναται τῶν ἀτόμων ἀρχῶν καὶ ὑλικῶν, ὡς ἂν δι' αὐτῶν τὸ ἄτομον ἐν τῇ ἰδίᾳ γινώσκοιτο ἑνικότητι.

Ἔτι, τὰ νοητὰ τῶν πραγμάτων εἴδη πρὸς μὲν τὸν ἀνθρώπινον νοῦν f. 68 τῇ ὁδῷ τῆς ἀναλύσεως παραγίνονται κατὰ ἀφαίρεσιν τῆς ὕλης καὶ τῶν ἀτομιζουσῶν ἀρχῶν ὅθεν δι' αὐτῶν οὐχ οἷόν τε ἡμῖν ἐγνῶσθαι τὰ μερικά· πρὸς δὲ τὸν τῆς χωριστῆς οὐσίας νοῦν παραγίνονται ὥσπερ τῇ ὁδῷ τῆς συνθέσεως· ἔχει γὰρ τὰ νοητὰ εἴδη ἐκ τῆς ἀφομοιώσεως αὐτῆς πρὸς τὸ πρῶτον καὶ νοητὸν εἶδος τοῦ θείου νοῦ, ὅπερ οὐκ ἔστι κατὰ ἀφαίρεσιν ἀπὸ τῶν πραγμάτων, ἀλλὰ τῶν πραγμάτων ποιητικόν. Ἔστι δὲ οὐ μόνον τοῦ εἴδους ποιητικόν, ἀλλὰ καὶ τῆς ὕλης, ἥτις ἐστὶ τῶν ἀτόμων ἀρχή. Τὰ εἴδη ἄρα τοῦ νοῦ τῆς κεχωρισμένης οὐσίας εἰς ὅλον ἀφορῶσι τὸ πρᾶγμα, οὐ τὰς τοῦ εἴδους μόνον ἀρχάς, ἀλλὰ καὶ τὰς ἀρχὰς τῶν ἀτόμων. Οὐκ ἄρα τὴν τῶν μερικῶν γνῶσιν προσήκει τῶν χωριστῶν οὐσιῶν ἀφαιρεῖν, εἰ καὶ ὁ ἡμέτερος νοῦς τὰ μερικὰ γινώσκειν οὐ δύναται.

## CI. — Πότερον αἱ χωρισταὶ οὐσίαι ὁμοῦ πλείω δύνανται γινώσκειν.

Ἰστέον ὅτι οὐ πᾶν ἐστιν ἐνεργείᾳ νοητόν, οὗτινος τὸ νοητὸν εἶδος ἐνεργείᾳ ἐστὶν ἐν τῷ νῷ. Ἐπεὶ γὰρ ἡ τοῦ νοῦ οὐσία καὶ θελητική ἐστι, καὶ διὰ τοῦτό ἐστι καὶ κυρία τῶν ἑαυτῆς πράξεων, ἐν τῇ δυνάμει ταύτης ἐστί, μετὰ τὸ ἔχειν τὸ νοητὸν εἶδος, ἢ χρῆσθαι αὐτῷ πρὸς τὸ νοεῖν ἐνεργείᾳ, ἢ εἰ πλείω ἔχοι, χρῆσθαι τούτων ἑνί· ὅθεν κἀκεῖνα ὧν ἐπιστήμην



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔχομεν, οὐ πάντα ἐνεργείᾳ θεωροῦμεν. Ἡ νοερὰ ἄρα οὐσία διὰ πλειόνων εἰδῶν γινώσκουσα, χρῆται ἑνί, ὃ θέλει, καὶ διὰ τούτου ὁμοῦ ἐνεργείᾳ πάντα γινώσκει, ἃ δι' ἐκείνου τοῦ εἴδους γινώσκει· πάντα γάρ ἐστιν ὥσπερ ἓν νοητόν, καθόσον εἰσὶ γνωστὰ δι' ἑνός, ὥσπερ καὶ ὁ ἡμέτερος νοῦς ὁμοῦ γινώσκει πολλὰ πρὸς ἄλληλα συντεθειμένα ἢ ἀναγόμενα ὥσπερ ἕν.τι· ἃ δὲ διαφόροις εἴδεσι γινώσκει, οὐχ ὁμοῦ γινώσκει. Ἔστιν ἄρα ἐν τῷ νῷ τῆς χωριστῆς οὐσίας τάξις τις τῶν νοήσεων, οὐ μέντοι κίνησις, ἰδίως εἰπεῖν· οὐ γὰρ διαδέχεται τὴν δύναμιν ἡ ἐνέργεια, ἀλλ' ἐνέργεια ἐνέργειαν. Ὁ δὲ θεῖος νοῦς, ἑνὶ τῇ οὐσίᾳ πάντα γινώσκων, ἥτις ἐστὶν ἡ ἐνέργεια αὐτοῦ, ὁμοῦ πάντα νοεῖ ἄνευ μεταβάσεως, καὶ τὸ νοεῖν αὐτοῦ ὅλον ἐστὶν ὁμοῦ, τέλειον, διαμένον εἰς αἰῶνας αἰώνων, ἀμήν: —

## *LIVRE TROISIEME.*

## Dieu fin dernière et providence.

f. 68 v *ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.*

### I. — Προοίμιον.

„Θεὸς μέγας κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς", καὶ τὰ ἑξῆς. Ὁ ψαλμῳδὸς τῷ τοῦ θείου πνεύματος πεπληρῶσθαι κατανοῶν τὸ τὸν Θεὸν μίαν εἶναι τῶν ὅλων ἀρχὴν οὐ φύσεως ἀνάγκῃ, ἀλλ' αὐτεξουσίῳ θελήματι πάντα παραγαγοῦσαν, καὶ οὐ μόνον ποιητήν, ἀλλὰ καὶ ἄρχοντα καὶ διοικητὴν εἶναι, διαφόρως ἐν τοῖς διαφόροις κατὰ τὴν τῶν φύσεων διαφορὰν τῶν ἀποτελεσμάτων τῆς θείας διοικήσεως φαινομένων, ταῦτα κατανοήσας, πρῶτον μὲν τὴν τοῦ πρώτου ἄρχοντος τελειότητα ἡμῖν ὑπογράφει, τῆς μὲν φύσεως ἐν τῷ λέγειν Θεός, τῆς δὲ δυνάμεως, ἐν τῷ λέγειν μέγας κύριος, τῆς δὲ ἀρχῆς, δι' ὧν λέγει βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς, ὡς παντὸς ἄρχοντος τῇ θείᾳ ὑποτεταγμένου ἐξουσίᾳ. Καὶ λέγων μὲν ὅτι „οὐκ ἀπώσεται Κύριος τὴν κληρονομίαν αὐτοῦ", τὴν πρὸς τὰ νοητὰ ἀρχὴν ὑπογράφει· τὴν δὲ πρὸς τὰ φθαρτά, λέγων ὅτι „ἐν τῇ χειρὶ αὐτοῦ ἐστι πάντα τὰ πέρατα τῆς γῆς"· τῆς δὲ ὑψηλότητος καὶ βεβαιότητος ἐν τῇ τάξει τῆς θείας διοικήσεως τῶν οὐρανίων σωμάτων ἅπτεται τῷ εἰπεῖν· „καὶ τὰ ὕψη τῶν ὀρέων, αὐτοῦ εἰσίν"· εἰπὼν δὲ ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ τὰ ἑξῆς, ἀποδίδωσι τὸν λόγον τῆς τοιαύτης καθόλου ἀρχῆς, ὅτι ἀνάγκη καὶ διοικεῖσθαι ὑπὸ Θεοῦ τὰ ὑπ' αὐτοῦ παρηγμένα.

Ἐπεὶ τοίνυν ἐν τῷ πρώτῳ βιβλίῳ περὶ τῆς τελειότητος τῆς θείας

9 *ἐνὶ* sic A 20 Ps. 94, 3-5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006